οὐδὲ πρὸς τὸν θάνατον ὤκνησεν, [5]ἀλλὰ πάντες ὥσπερ ἐπ' ἀθανα- 5
σίας ὁδὸν τρέχοντες ἐπὶ τὸν διὰ τῶν βασάνων θάνατον ἔσπευδον.
[6]καθάπερ αἱ χεῖρες καὶ οἱ πόδες συμφώνως τοῖς τῆς ψυχῆς ἀφ- 6
ηγήμασιν κινοῦνται, οὕτως οἱ ἱεροὶ μείρακες ἐκεῖνοι ὡς ὑπὸ ψυχῆς
ἀθανάτου τῆς εὐσεβείας πρὸς τὸν ὑπὲρ αὐτῆς συνεφώνησαν θάνα-
τον. [7]ὦ πανάγιε συμφώνων ἀδελφῶν ἑβδομάς. καθάπερ γὰρ ἑπτὰ 7
τῆς κοσμοποιίας ἡμέραι περὶ τὴν εὐσέβειαν, [8]οὕτως περὶ τὴν ἑβδο- 8
μάδα χορεύοντες οἱ μείρακες ἐκύκλουν τὸν τῶν βασάνων φόβον
καταλύοντες. [9]νῦν ἡμεῖς ἀκούοντες τὴν θλῖψιν τῶν νεανιῶν ἐκεί- 9
νων φρίττομεν· οἱ δὲ οὐ μόνον ὁρῶντες, ἀλλ' οὐδὲ μόνον ἀκούον-
τες τὸν παραχρῆμα ἀπειλῆς λόγον, ἀλλὰ καὶ πάσχοντες ἐνεκαρ-
τέρουν, καὶ τοῦτο ταῖς διὰ πυρὸς ὀδύναις· [10]ὧν τί γένοιτο ἐπαλ- 10
γέστερον; ὀξεῖα γὰρ καὶ σύντομος οὖσα ἡ τοῦ πυρὸς δύναμις
ταχέως διέλυεν τὰ σώματα.
[11]Καὶ μὴ θαυμαστὸν ἡγεῖσθε εἰ ὁ λογισμὸς περιεκράτησε τῶν 11
ἀνδρῶν ἐκείνων ἐν ταῖς βασάνοις, ὅπου γε καὶ γυναικὸς νοῦς
πολυτροπωτέρων ὑπερεφρόνησεν ἀλγηδόνων· [12]ἡ μήτηρ γὰρ τῶν 12
ἑπτὰ νεανίσκων ὑπήνεγκεν τὰς ἐφ' ἑνὶ ἑκάστῳ τῶν τέκνων στρέ-
βλας. [13]θεωρεῖτε δὲ πῶς πολύπλοκός ἐστιν ἡ τῆς φιλοτεκνίας 13
στοργὴ ἕλκουσα πάντα πρὸς τὴν τῶν σπλάγχνων συμπάθειαν,
[14]ὅπου γε καὶ τὰ ἄλογα ζῷα ὁμοίαν τὴν εἰς τὰ ἐξ αὐτῶν γεννώ- 14
μενα συμπάθειαν καὶ στοργὴν ἔχει τοῖς ἀνθρώποις. [15]καὶ γὰρ τῶν 15
πετεινῶν τὰ μὲν ἥμερα κατὰ τὰς οἰκίας ὀροφοιτοῦντα προασπίζει
τῶν νεοττῶν, [16]τὰ δὲ κατὰ κορυφὰς ὀρέων καὶ φαράγγων ἀπορ- 16
ρῶγας καὶ δένδρων ὀπὰς καὶ τὰς τούτων ἄκρας ἐννοσσοποιησάμενα
ἀποτίκτει καὶ τὸν προσιόντα κωλύει· [17]εἰ δὲ καὶ μὴ δύναιντο κω- 17
λύειν, περιιπτάμενα κυκλόθεν αὐτῶν ἀλγοῦντα τῇ στοργῇ ἀνακα-
λούμενα τῇ ἰδίᾳ φωνῇ, καθ' ὃ δύναται, βοηθεῖ τοῖς τέκνοις. [18]καὶ 18
τί δεῖ τὴν διὰ τῶν ἀλόγων ζῴων ἐπιδεικνύναι πρὸς τὰ τέκνα συμ-
πάθειαν, [19]ὅπου γε καὶ μέλισσαι περὶ τὸν τῆς κηρογονίας καιρὸν 19
ἐπαμύνονται τοὺς προσιόντας καὶ καθάπερ σιδήρῳ τῷ κέντρῳ

6 καθαπερ] + γαρ A | αι et οι $1^0$ > A || 7 παναγιε: sic SVpau. et -γιαι A†; pl. -για || 8 ουτως] ς > S*pau. | εβδομαδα] + ν S*†: cf. Thack. § 10, 12 || 9 ενεκαρτερουν] εν > A | δια πυρος] του π. S*† (pr. δια Sc) || 10 τι] + αν Scpl. | ουσα/η του πυρος] tr. A | διελυε(ν)] -λυσε pau., -λευσε A†, -λευσεται pau. codici A cognati || 11 ταις βασ. pl.] τοις β. SA: cf. I 9 56 || 12 νεανισκων] + εκ⟨ε⟩ινων Sc || 13 των] + τεκνων Sc(†) || 14 την > S* | εις] προς A || 15 οροφοιτουντα] -φυτ- S, οροφοκοιτουντα Fr. secutus Bekkerum | προσασπιζει S*† || 16 κορυφας] pr. τας A | εννοσσοποιησαμενα compl.] εν $1^0$ > A†, -ποιησομ- S*†, -ποιουμενα Sc || 17 ει > S*†: post -ει | δυναιντο] ν ult. > S* | περιιπτ.] ι $2^0$ > S*† | αλγουντα] ρ pro λ S*† | καθ ο δυν.] καθ ον δυν. τροπον A | δυναται] -ανται S | βοηθ(ε)ι] + ν Sc || 18 την δια] tr. S*† | προς] pr. την S*A